# Ἰσοκράτους πρὸς Δημόνικον

Ἐν πολλοῖς μὲν, ὦ Δημόνικε, πολὺ διεστώσας εὑρήσομεν
τάς τε τῶν σπουδαίων γνώμας καὶ τὰς τῶν φαύλων
διανοίας· πολὺ δὲ μεγίστην διαφορὰν εἰλήφασιν ἐν ταῖς
πρὸς ἀλλήλους συνηθείαις· οἱ μὲν γὰρ τοὺς φίλους πα-
ρόντας μόνον τιμῶσιν· οἱ δὲ καὶ μακρὰν ἀπόντας ἀγα-
πῶσι· καὶ τὰς μὲν τῶν φαύλων συνηθείας ὀλίγος χρόνος
διέλυσε· τὰς δὲ τῶν σπουδαίων φιλίας οὐδ' ἂν ὁ πᾶς αἰὼν
ἐξαλείψειεν· ἡγούμενος οὖν πρέπειν τοὺς δόξης ὀρε-
γομένους καὶ παιδείας ἀντιποιουμένους τῶν σπουδαίων
ἀλλὰ μὴ τῶν φαύλων εἶναι μιμητάς, ἀπέσταλκά σοι τόν-
δε τὸν λόγον δῶρον· τεκμήριον μὲν τῆς πρὸς ὑμᾶς
εὐνοίας, σημεῖον δὲ τῆς πρὸς Ἱππόνικον συνηθείας·
πρέπει γὰρ τοὺς παῖδας ὥσπερ τῆς οὐσίας, οὕτω καὶ τῆς
φιλίας τῆς πατρικῆς κληρονομεῖν· ὁρῶ δὲ καὶ τὴν τύ-
χην ἡμῖν συλλαμβάνουσαν· καὶ τὸν παρόντα καιρὸν συν-
αγωνιζόμενον· σὺ μὲν γὰρ παιδείας ἐπιθυμεῖς· ἐγὼ δὲ
παιδεύειν ἄλλους ἐπιχειρῶ· καὶ σοὶ μὲν ἀκμὴ φιλοσοφεῖν·
ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ· ὅσοι μὲν οὖν
πρὸς τοὺς ἑαυτῶν φίλους τοὺς προτρεπτικοὺς λόγους συγ-
γράφουσι, καλὸν μὲν ἔργον ἐπιχειροῦσιν· οὐ μὴν περὶ
τὸ κράτιστον τῆς φιλοσοφίας διατρίβουσιν· ὅσοι δὲ
τοῖς νεωτέροις εἰσηγοῦνται, μὴ δι' ὧν τὴν δεινότητα τὴν
ἐν τοῖς λόγοις ἀσκήσουσιν, ἀλλ' ὅπως τὰ τῶν τρόπων ἤθη
σπουδαῖοι πεφυκέναι δόξωσι, τοσούτῳ μᾶλλον ἐκείνων
τοὺς ἀκούοντας ὠφελοῦσιν, ὅσον οἱ μὲν ἐπὶ λόγον μόνον παρακαλοῦσιν,
οἱ δὲ τὸν τρόπον αὐτῶν ἐπανορθοῦσι· διόπερ ἡμεῖς